Ἐκκλησιαστικὸς Φάρος 5 (1910) 213-226

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΥΡΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ ΕΠΙΣΤΟΛΑΙ*

ρξζ') Τῷ Θεογνώστῳ ἰητρῷ

Τὸν πρὸ μικροῦ κομήτην, νῦν[1] δὲ ἀτίμῳ κουρᾷ ἀποβεβλημένον τὰς τρίχας τὸν μαστιγίαν καὶ ἐκβεβοημένον Φραγγόπουλον δεσμώτην ὄντα καὶ ἐν φυλακῆς οἴκῳ καθήμενον, λόγος διατεθρύλληται, δυοῖν θάτερον ἢ θανεῖν ἤδη, ἢ ἐγγὺς εἶναι ἀποθανεῖν· οὐκ ἔγωγε δέξασθαι ὡς ἀληθῆ τὸν λόγον δεδύνημαι, ὅτι καὶ οἱ φάσκοντες οἰκεῖοι καὶ προσήκοντες γένει, καὶ οὐδὲν ἀπεικὸς αὐτοὺς ἑὸν κακὸν ἀμφαγαπῶντας πλάττεσθαι τὸν κίνδυνον τῆς ζωῆς. Τί γὰρ εἰ λόγῳ μὲν ἀποθανόντα ποιήσαντες τὸν ἐξώλην[2], ἔργοις αὐτὸν ζῶντά τε καὶ δεσμῶν ἄνετον ἀπολαύωσι; πλὴν ἐπειδή περ καὶ σύ γε αὐτὸς τὸν εἰπόντα, φήμη δ' οὐ πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ λαοὶ φημίζουσιν, ὡς καλῶς εἰπόντα θαυμάζεις, τὸν ἡμέτερον τόν δε παρειληφώς, παρὰ τὸν εἰρημένον ἐπίστηθι· κἂν μὲν αὐτὸν ἐκ τῆς τέχνης θανάτου τινὰ κατανοήσῃς ἔχοντα σύμβολα, τὸ γὰρ ἀποθανεῖν αὐτὸν οὕτω ταχέως κάκιστον ὄντα, οὔτε τῇ κοινῇ παροιμίᾳ

* Συνέχεια ἐκ Τόμ. Δ', σελ. 128.

[1]) νυνὶ A.

[2]) ἐξώλη A.

δοκεῖ, κἀγὼ ἄπιστον ἥγημαι, σπεύσας ἀνένεγκαι τῷ ἐκ Θεοῦ βασιλεῖ, ἵνα τοῖς οἰκείοις παραδοθεὶς τύχῃ τινός, οὗπερ εἰκὸς τυχόντα τὸν ὑπὲρ κεφαλῆς διαφευξεῖσθαι κίνδυνον· εἰ δὲ σκῆψιν εὑρήσεις τὸν λόγον, οἴκαδε βαδίζειν τῷ ἡμετέρῳ εἰπών, πρὸς τοὺς ἄλλους σὺ οἳ τῆς σῆς ἐπιδημίας ἀληθῶς χρῄζουσι τρέπου, καὶ τὰ σαυτοῦ πρᾶττε, τὸν σοφιστὴν Φραγγόπουλον ἀφεὶς ἐν τῇ φυλακῇ, τὰ τῶν ἀκριβῶς νεκρῶν ἢ παρὰ μικρὸν νεκρῶν ὑποκρίνεσθαι.

ρξη') *Τῷ πρωτοβεστιαρίῳ*

Εἴτ' ἀληθές ἐστιν ὅ φασί τινες εἴτε καὶ μή, οὐκ ἔχω σφοδρῶς ἀποφαίνεσθαι· ἀλλ' οὖν φασι τὸν ἐλαφρὸν Γεράσιμον, τὸν ἐπ' ὀλέθρῳ τῆς καθολικῆς Ἐκκλησίας εἰς πρόεδρον τῆς κατὰ Πείρινθον ἐκκλησιας κεχρηματικότα, μὴ ἀγαπᾶν οἷς ἐς δεῦρο ἀτοπήμασιν ἔπραξεν, ἀλλὰ καὶ προσφιλονεικεῖν ἔτι καὶ προσνεωτερίζειν ἐθέλειν. Καί γε τὴν προσάγουσαν Κυριακήν, ὅτι τε χριστιανοῖς πᾶσι δημοτελής ἐστιν ἑορτή, καὶ μέλλειν περὶ τὸν μέγιστον νεὼν συνδρομὴν ἐκ γένους τε παντὸς ἔσεσθαι καὶ ἡλικίας ἁπάσης, διανοεῖσθαι καὶ αὐτὸν τηνικαῦτα μετά τινων στασιωτῶν ἐμβαλεῖν τῷ μεγάλῳ τεμένει καὶ λέξειν ἡμᾶς κακὰ καὶ δράσειν, ὅσα ἂν ᾖ δυνατός. Οὐδέν μοι δεινὸν ἔγωγε πείσεσθαι δοκῶ, ὡς ἄρα ψεύδους ἢ ἀληθείας ἔστιν ἔχων ὁ λόγος· καὶ γὰρ ὁπηνίκα καὶ ἐπισταίη, καὶ κατὰ γνώμην τὴν θαυμασίαν αὐτοῦ δημηγορίαν διάθηται καὶ τὰ ἔργα· καὶ μέν τοι καὶ ὀχλαγωγήσει, καὶ τὸν λαὸν ἀνασείσει, καὶ ἡμᾶς καταλεύσειν πείσει, καὶ τηνικάδε φημὶ πολλῷ τῷ περιόντι νενικηκὼς ἔσεσθαι, ἄδικα πεπονθὼς οὐχὶ δίκαια· τὸ γὰρ ἀδικεῖσθαι ἀνέχεσθαι τοῦ ἀδικεῖν, καὶ ἡ ἔξω δήπου φιλοσοφία αἱρετώτερον ἄγει καὶ βέλτιον· μεθ' οὗ δὴ τὸ βέλτιον ἀεί, νικητὴς ἐκεῖνος ἀεί, κἂν μὴ οὕτω δοκῇ τοῖς πολλοῖς· χειρῶν κράτει τοῦ ἀδικοῦντος ἡττώμενος· νικήσομεν τοίνυν οὕτω ~~καὶ πεπονθότες καὶ~~ χωρὶς δὲ ταύτης τῆς νίκης· ἐρῶ δὲ τὸ τοῦ ἔπους μικρὸν ἐναλλάξας· πάρεισι καὶ ἡμῖν ἐπιτήδειοι καὶ φίλοι

οἵ γ' ἀπὸ λοιγὸν ἀμῦναι οὐχ ἧττον ἡμῶν πρόθυμοι ἢ ἑαυτῶν. Εἰ οὖν τις, ὅ φησιν Ἁλικαρνασεύς, χειροκρασία γένηται, καὶ τὸ πρᾶγμα οὐκ ἐς μόνας πληγάς, ἀλλὰ καὶ περαιτέρω πληγῶν προχωρήσει, ὃ συμβῆναι μηδέποτε Θεὸς συγχωρήσοι, πρὸς Θεοῦ, πρὸς τῆς ἀληθείας, ἔσται τις ἀνθρώπων ὀρθῆς γνώμης καὶ λογισμοῦ κύριος, ὅστις ἐμοὶ μέμψιν τῶν πεπραγμένων τούτων ἐποίσει; ἀνθρώπῳ οὐ μᾶλλόν τισιν ἀνθρώπων ἐπηρεάζοντι ἢ ἐνοχλοῦντι ἢ αὐτῷ γε οὐρανῷ καὶ τοῖς κατ' οὐρανόν; ἀλλ' οὖν μὴ συμβῆναί τι τοιοῦτον ἐγὼ μὲν βουλοίμην καὶ εὔχομαι· σὺ δέ με μὴ νόμιζε περὶ τῇ ζωῇ δειλιῶντα τοιαύτην εὔχεσθαι τὴν εὐχήν· ἀλλ' ὅτι ἄμεινον τῷ παντὶ οὕτως εὔχομαι· λέγεις δήπου καὶ σὺ ἄμεινον τοῦτο, καὶ τὴν εὐχὴν ἐπαινεῖς; οὐκοῦν ἀκουέτω διὰ σοῦ βασιλεύς, ὃ παρά τινων λέγεται· ἀκουέτω καὶ ποῦ ποτε μέλλειν ἥξειν, ὃ λέγεται τοῦτο—εἴπερ ἀληθῶς λέγεται—καίτοι τοῦ μὴ ἀληθὴς εἶναι ὑποψίαν ὁ λόγος παρέχει, οὐδ' οὕτως οὐδὲν ἐπιζήμιον ἔσται προμηθευσαμένων. Ὁρῶμεν γὰρ καὶ τὰ πλεῖστα τῶν ἡμετέρων πολισμάτων τε καὶ φρουρίων οὐδ' ἀπὸ τῆς ὄψεως τυγχάνειν γνώρισμα τοῖς ἐχθροῖς, τοσούτου δέουσιν αὐτοῖς προσβάλλειν· ἀλλ' ὅμως ἐκ περιουσίας ἵσταται φρουρὰ καὶ μάλα καρτερὰ τῇ χώρᾳ· οὐ τοῖς ἐπιβουλεύουσιν ἤδη, τοῖς δ' ὑπειλημμένοις ἐπιβουλεύσειν τὰς ἐφόδους προϋποτέμνοντα.

ρξθ') Τῷ λογοθέτῃ τῶν Γενικῶν τῷ Ἀκροπολίτῃ

Ὅ ποτε τὸν Ἀτζωνᾶν ἐκεῖνον εἶχε δεσπότην Ἀριστείδου βιβλίον, νῦν δὲ σὸν εὐτυχῶς εὑρίσκεται κτῆμα, τοῦτό μοι χρῆσαι τὴν σὴν σοφίαν σήμερον ἀξιῶ. Εἰ δ' ὅτι τις ἔλλην ῥήτωρ καὶ πόρρω τῆς θείας αὐλῆς, ἐμοὶ δὲ καὶ τοῦ γήρως ἕνεκεν καὶ τοῦ σχήματος οὐ τὰ τοιαῦτα, τὰ δὲ θεῖα σπουδάζειν ἁρμοδιώτερον, σύγγνωθί μοι σοφὸς ὢν καὶ γινώσκειν ἔχων ἐκ σεαυτοῦ ὡς ῥᾷον τοὺς ἅπαξ ἁλόντας τῷ τῶν λόγων ἔρωτι τὴν φύσιν ἀρνήσασθαι ἢ καταλῦσαι τὸν ἔρωτα. Ἐγὼ δὲ κεχρῆσθαι βούλομαι οὐχ ἵνα σπουδάζω περὶ αὐτὸν—πάλαι μὲν οὖν ἐσπούδαζον καὶ

μάλα μοι ἐπὶ τῷδε συχνῶς ἐξεχεῖτο ἱδρώς—νυνὶ δὲ πόνος ἄλλος ἐπείγει, ὁ τῶν ἐκκλησιαστικῶν δηλονότι πραγμάτων, τοσοῦτον οὐ διδοὺς σχολὴν περὶ ἄλλα προσέχειν τὸν νοῦν, ὅσον μηδ' ἐξεῖναι κνᾶσθαι τὸ οὖς, ὅπερ ἡ παροιμία φησίν· ἀλλὰ τίνος ἂν ἑτέρου φήσαις αὐτό, εἰμὴ τοῦδε χάριν αἰτῶ, ὅτι τοι βιβλίον, σοφώτατε, τοῦ αὐτοῦ καὶ αὐτὸς ῥήτορος κεκτημένος ἐκ δυοῖν τούτοιν χρόνου τε καὶ ὀλιγωρίας τῶν προκτησαμένων ἐγγὺς τοῦ διαφθαρῆναι γενόμενον ἐπισκευάζειν βούλομαι, καὶ τὰ ἐλλείποντα προσαναπληροῦν αὐτῷ· ἵν' εἰ μὴ ἐγὼ κεχρήσομαι, ἔξωρος ὢν ἤδη καὶ νωθρὸς πρὸς ἀνάγνωσιν, τοῖς δ' οὖν μετέπειτα τῶν φιλολόγων διδασκαλεῖον ἀκριβὲς τῆς τῶν λόγων ἀπεργασίας καὶ ἀγαθὸν παράδειγμα σώζοιτο. Ἐλλείπει δὲ δήπου αὐτῷ μέρος μέντοι τοῦ πρὸς βασιλέα λόγου, μέρος δέ τι καὶ τοῦ αἰγυπτίου, ὃν καὶ περὶ τοῦ Νείλου οἵ γε ἀκριβέστερον ἐφιστάνοντες ἐπιγράφουσιν, ὡς οὐκ οὔσης περὶ τῆς χώρας, τοῦ δὲ ποταμοῦ τῆς τοῦ λόγου σπουδῆς καὶ προθέσεως. Ταῦτ' ἐλλείπει, καὶ παρὰ ταῦτα πλέον οὐδέν· ὥστ' εἰκὸς μικρῶν ὄντων ἐλλειμμάτων, καὶ ἡμᾶς θᾶττον ἀπαλλαγῆναι τοῦ ἔργου, καὶ σὲ τὸ βιβλίον ἀπολαβεῖν. Ἀλλά μοι χρῆσον αὐτὸ μεμνημένος ὡς ἦν ὅτε παρ' ἡμῶν καὶ αὐτὸς τοῦ αὐτοῦ ῥήτορος οὐ μόνον ἐχρήσω βιβλίον, ἀλλ' εἰ δίδως εἰπεῖν, καὶ κατεχρήσω αὐτῷ.

ϱο΄) *Τῷ μεγάλῳ Λογοθέτῃ*

Ἑαυτῷ τι προσήκειν ὁ δεῖνα ῥητορικῆς εὐγλωττίας οἰόμενος, ἔργον τῆς δοκούσης ποιεῖται δυνάμεως διὰ συχνῶν ἐμοῦ καθάπτεται τῶν ἐπιστολῶν, ὥσπερ οὐκ ἄλλοθεν ἔχων τοῖς ἑαυτοῦ λόγοις ὕλην ἢ ἐκ τῶν ἡμετέρων ψόγων ὑποβαλεῖν· ἃ μὲν οὖν τὰς πρώτας ἡμέρας ἐπέστελλεν ὁ κρίθινος οὑτοσὶ Δημοσθένης, πολλά τε ὄντα καὶ ὑβριστικὰ παρελήλυθε, κἀγὼ ἀμνηστίαν ἔσχον αὐτῶν καὶ λήθῃ παρέπεμψα· χθὲς δὲ ἢ καὶ πρὸ τῆς χθὲς μακράν τινα συντεθεικὼς ἐπιστολήν, καὶ πλέον γε πικρὰν ἢ μακρὰν—ὁ γὰρ ἄνθρωπος πίθος τις εἶναι πικρίας δοκεῖ.

κἄν τι ἐπέλθῃ αὐτῷ ἐκλαλῆσαι, χολώδη τινὰ μᾶλλον δὲ ἐχιδνώδη καὶ θανατηφόρα ἐκ τῆς καρδίας περισσεύματος φθέγγεται— ἀλλ' ὅμως τοιαύτην συντεθεικὼς τὴν ἐπιστολὴν πέμπει πρὸς ἡμᾶς, τοσοῦτον αὐτὸν λόγοις ἢ ἔργοις ἐρεθίζοντας τοιαῦτάττα ποιεῖν, ὅσον τοὺς ζῶντας οἱ πρὸ πολλοῦ τὸν βίον ἀπολιπόντες. Τοῦτον τὰ μὲν πρῶτα δεῖν ἐνόμισα μηδενὸς ἀξιῶσαι λόγου, ἀλλ' ὅπερ καὶ ἄλλοτε ποιεῖν εἴωθα ἐπιτρέψαι τὰ κατ' αὐτὸν τῷ Θεῷ· ἔπειτά μέ τις λογισμὸς εἰσῄει, ὅτι δειλιάσαντας ἡμᾶς τὴν σιγὴν στέρξαντας ὑπολήψεται οὐκ ἐπιεικευσαμένους καὶ ἔσεσθαί γε μέλλειν ἀμεληθέντα θρασύτερον τοῦ προτέρου καὶ ἀκρατέστερον ὑβριστήν. Ὅθεν καὶ ἔγνων ἀπολογήσασθαί τι πρὸς αὐτὸν ἀφελῶς τε καὶ ἐπιεικῶς, εἴ πως ταύτης γε τῆς καθ' ἡμῶν ἐπίσχωμεν μανίας· καὶ ὃ σιγήσας κατορθοῦν οὐ δεδύνημαι φθεγξάμενος ἴσως δυνήσομαι. Ἀπολελόγημαι τοίνυν καὶ ἄμφω τὰς ἐπιστολὰς πέμπω πρὸς σέ, ἑτέρου χάριν τινος οὐδενὸς ἢ ἵνα γνῷς ἀναγνοὺς ὡς ἀθυμοῦμεν, καὶ τὴν βραχεῖαν ἡμῶν ζωὴν ὑπὸ τῶν βασκάνων καὶ πονηρῶν καθ' ἑκάστην ἐκδαπανώμεθα, καὶ οὐδὲ οὕτω λόγοις γοῦν γενναιοτέροις ἀμύνεσθαι προαιρούμεθα.

ροα') *Μοναχῷ τινι γνωρίμῳ*

Πρώτην εἶχον τῆς εἰς ἀσθένειαν κατακλίσεως ἡμέραν, ὅτε σου ἡ μετὰ τοῦ προέδρου Σμύρνης ἐπιστολὴ κατέλαβε πρὸς ἐμέ, καὶ μόλις ἀναγνῶναι αὐτὴν ἠδυνήθην. Γράφειν δέ τι πρὸς αὐτὴν παραχρῆμα τότε καὶ πρὸς σὲ πέμπειν οὐ συνεχώρει ἡ νόσος. κραταιότερον ἐπιμένει, καὶ πάσης σχεδὸν πράξεως, τάχα δὲ καὶ κινήσεως, καὶ αὐτοῦ γε τοῦ λέγειν ἀργόν με ἀπεργαζομένη. Ἀλλ' ἐπειδὴ καὶ ἐς δεῦρο ἐξ ἐκείνου κατεῖχε, νυνὶ δὲ ἀφῆκε, Θεοῦ ἐλεοῦντος, καὶ μετρίως ἐγὼ ἐμαυτῷ κεχρῆσθαι δεδύνημαι, οὐκ ᾠήθην δεῖν μὴ ἀντεπιστεῖλαι γραφόμενα καὶ πεμπόμενα. Τοιγαροῦν καὶ ἀποδίδωμι ἐντεῦθεν ἀρχόμενος· γράφεις πρὸς ἡμᾶς οἷα γράφεις, καὶ ἐλεγκτικῶς ὁμοῦ καὶ πικρῶς ἐρωτᾷς, ποῖον ἀγαθὸν ἐν τῷ μέσῳ, ἐξ οὗ τῆς Ἐκκλησίας ἐπειλήμμεθα, εἰργα-

σάμεθα· καὶ εἶχον ἄν σοι αὐτίκα εἰπεῖν, ὡς τὸ γ' ἐμὸν εἴργασμαι πολλά· εἰ δέ τις οὐ βούλεται ἕπεσθαι, ἄλλος οὗτος λόγος οὐ πρὸς ἐμέ· ὡς ἂν δὲ μὴ περιαυτολογῶν δόξω, ἀφήσωμεν ἀποκρίνεσθαι· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι φησὶν ἡ Γραφή· ὁ δὲν πᾶν ἡμῖν εἴτι χρηστὸν κατορθώσας σύ, ὁ πᾶσι τοῖς ἔργοις σου θαυμαζόμενος, ὁ ἀνεξίκακος καὶ ἀμνησίκακος καὶ ἁπλοῦς, ἐπειδὴ μετρίων τινῶν μοναχῶν προέστης, ποῖον τῆς σῆς ἀρετῆς δεῖγμα ἐξήνεγκας; τίνα τῆς σῆς οἰκονομίας καὶ δεξιότητος ἔδωκας ἔλεγχον; πῶς αὐτοὺς τοῖς σοῖς ἴχνεσιν ἀκολουθῶν ἔπεισας; εὐφημεῖν δὲ ἐν λόγοις, καὶ μηδὲν πρὸς ὀνειδισμούς, μηδὲ τῶν πολεμίων ἐκφέρεσθαι; πῶς ἐπαίδευσας; πλὴν ἐῶ ταῦτα· σὺ δὲ δίκαιος εἶ, ἀκριβὴς εἶ, ἀληθινός, ἄμεμπτος, καὶ ὅσα τῷ μεγάλῳ Ἰὼβ ἡ Γραφὴ μαρτυρεῖ· ἡμεῖς δέ σοι τὰ τούτων ἐναντία, καὶ ἔτι πλεῖον κακοί· τίς σε ἄρχοντα, τίς σε δικαστὴν κατέστησεν ἐφ' ἡμᾶς; Ὁ Κύριος ἡμῶν, ὁ τοῦ Θεοῦ Πατρὸς λόγος καὶ Θεὸς ἀληθὴς λοιδορούμενος—καὶ ταῦτα παρὰ τῶν δούλων, καὶ ὧν ἐνήργει τὴν σωτηρίαν—οὐκ ἀντελοιδόρει, σὺ δὲ ὁ μέγας μαθητὴς ἐκείνου, ἡμῶν δὲ ἐπιεικείας διδάσκαλος, μήτε λοιδορούμενος, μήτ' ὀνειδιζόμενος, μήτε τι ἄλλο ἄχαρι πρὸς ἡμῶν ἀκούων, πῶς εἰς τὰς παροινίας ἐκφέρῃ, ὅπου καὶ ἠδικημένῳ σοι ἐχρῆν τὸν σωτῆρα μιμήσασθαι, πάσχοντα μὲν τὸ σωτήριον πάθος, ἀμυνόμενον δέ, οὐδὲ μέχρις ἀπειλῆς, τῷ δὲ κρίνοντι δικαίως παραδιδόντα. Ἔστω γε, ὦ θαυμάσιε παιδευτά, ἐμὲ κακὸν εἶναι—καὶ γάρ εἰμι—καὶ πάσης διὰ τὴν κακίαν ὕβρεως καὶ μίσους ἄξιον· σὺ δὲ οἴει δικαίως ποιεῖν ἡμᾶς καὶ τὰ ἡμέτερα ἔργα τῆς ὑβριστικῆς σου σοφίας ὕλην ὑποτιθέμενος μὴ ἀποκάμῃς, ἄνθρωπε, εὐδοκιμῶν ἐν τοιούτοις ἐπιτηδεύμασι. Καί σοι τοῦτο μόνον κατόρθωμα ἐν ἅπαντι τῷ βίῳ γνωρίζοιτο, πλὴν ἐπειδήπερ οὐ μέχρι τῶν ἐλέγχων ἔστης, οὐδέ σοι ἡ περὶ τοῦ ὀνειδίζειν δεινότης ἀπέχρησεν, ἀλλὰ καὶ ἐπίτηδες ἐρεθίζων ἡμᾶς, μάλα σοβαρῶς ἐπέταττες, ὥς τις τῶν ἡμιθέων τὸ ἀρεστὸν ἡμῖν ποιεῖν ἐπὶ σοί, ἐμοὶ τὸ ἀρεστόν ἐστι, ἐμέ τε καὶ σὲ σώζεσθαι καὶ τοὺς πάντας καὶ τῶν μισητῶν Θεῷ ἔργων τε καὶ λόγων ἀφίστασθαι. Εἰ δ' ἡ ἀρέ-

σκεια αὕτη δυσμενής σοὶ καὶ ἐχθρὰ καὶ ἐμπόδιος πρὸς σωτηρίαν καὶ ὅλως οὐκ ἀρεστή, ἐθέλεις δὲ διωχθῆναι καὶ διψᾷς ὑπερόριος γενέσθαι, καὶ ὄνομα σεμνὸν ἐντεῦθεν ἐπὶ τῆς γῆς κτήσασθαι, ἐγὼ μέν, ὦ γενναῖε καὶ εὐτολμώτατε καὶ ἔτι γε ἀνδρικώτατε ἔνθα οὐκ ἔστι φόβος οὐδ' ὑποψία κινδύνου, ἐγὼ μὲν οὔτε γνώμην ἔσχον πρώην ποτὲ διώκτριαν οὔτε νῦν ἔχω· ἀλλ' οὐδ' ὑπηρέται, ἄνθρωποι διῶκται μὲ περιίστανται· σὺ δὲ ὅμως διώκεσθαι ἀγαπᾷς. Τί τοὺς ἀπελάσοντας καὶ ἐξορίσοντας ἔξωθεν ζητεῖς; χρῶ τῇ σαυτῷ ἐμφύτῳ κακίᾳ· χρῶ καὶ τῷ τῆς ψυχῆς ἰῷ· πάντως δὲ ἄφθονα ταῦτα παρὰ σοὶ καὶ ἱκανά γε διῶξαι καὶ πόρρω στῆσαι, καὶ τῆς ἀγάπης πάντων ἀνθρώπων καὶ τῆς σαυτοῦ σωτηρίας καὶ τοῦ Θεοῦ, καὶ αὐτῆς γε τῆς προσκαίρου ζωῆς. Τούτοις δὴ χρῶ καὶ ἡμᾶς ὕβριζε ἀκρατῶς· κἀμοί γε ἱκανοὶ ταῦτα ὑπηρέται εἰς τὸν κατὰ σοῦ πειρασμόν. Προσγενήσεταί σοι ἐντεῦθεν καὶ ὄνομα σεμνὸν καὶ μέγα, ὁποῖον καὶ ἄλλοι δή τινες πολλοὶ τῶν λελυττηκότων καὶ τοὺς πέλας ἐπ' οὐδεμιᾷ προφάσει δακνόντων ἐκτήσαντο. Ἐπεὶ δὲ καὶ μνήμων τις εἶναι δοκεῖν ἐθέλεις καὶ συχνά μου κατεπᾴδεις ἐκ τῆς γραφῆς ἐπὶ μόνῳ τούτῳ σχολάσας ὡς ἔοικε τὰς ὅλας τῆς νηστείας ἡμέρας, λέγω δὴ τῷ τὴν θαυμασίαν συνθεῖναι ἐπιστολήν, καὶ αὕτη δή σοι καρπὸς ἐξενήνεκται τῆς ἡσυχίας καὶ θεωρίας, καὶ πλὴν ταύτης οὐδέν, βούλομαί σε κἀγώ τινος ἱστορίας τῶν παλαιῶν ἀναμνῆσαι· ἔφευγέ ποτε καὶ Δαυῒδ ὁ μέγας ἀπὸ προσώπου Ἀβεσαλὼμ τοῦ παιδός, καί τις ἄνθρωπος Σεμεεὶ μεταξὺ φεύγοντι μικρὰν δυσπραγίαν τὴν ἄτιμον φυγὴν νομίσας τῷ βασιλεῖ ἐπιτίθεται, καταρᾶται, ὑβρίζει, καὶ τοῦτο πικρῶς διὰ μακρᾶς τῆς ὁδοῦ παραπορευόμενος· ἐζήλουν ἐπὶ τούτῳ καὶ ὥρμων ὥστε τῆς κεφαλῆς ἀποστερῆσαι πολλοί, εἰ γὰρ καὶ πρὸς τὸν πατραλοίαν πᾶς σχεδὸν ἀπέκλινεν Ἰσραήλ, ἀλλ' οὐκ εἰς τοιοῦτο δορυφορῶν ἠπόρει Δαυῒδ ὥστε τὸν ὑβριστὴν μὴ ἔχειν ἀμύνασθαι, ἀμύνασθαι προαιρούμενος· πλὴν ἐνώπιον τοῦ κτίσαντος αὐτὸν καὶ βασιλεύσαντος ὁ βασιλεὺς ταπεινοῦται, καὶ γέρας τῆς ταπεινώσεως τὴν μετὰ μικρὸν νίκην κομίζεται. Σεμεεὶ δὲ συγχωρεῖται, καὶ δεινὸν οὐδὲν

πάσχει ἕως ἔζη Δαυΐδ· ὡς δ' ἐκεῖνος μετέστη, καὶ Σολομὼν ἐπὶ τῶν σκήπτρων κατέστη, οἷα τῷ ὑβριστῇ ἀνθρώπῳ συμβέβηκεν ἄλλους αὐτὸς διδάξεις γραφικώτατος ὤν. Καὶ σὺ τοιγαροῦν ὁ μὴ νομίζων ὅσα ἡμεῖς πάσχομεν ἀποχρῆναι, ἀλλὰ καὶ προσεπιδαψιλευόμενος οἴκοθεν καὶ προσεπεμβαίνων τοῖς ταπεινοῖς, πρὸς τῶν συντετριμμένων ἡμῶν καὶ ὑβριζομένων, οὐδὲν τῆς ἐπηρείας ἄξιον πείσῃ· ἱκανὴ γὰρ ἐμοὶ τιμωρία τὸ εἶναί σε προδήλως βάσκανον καὶ κακόν. Δέδιθι δὲ ὅμως μή τινά σοι Σολομῶντα πατριάρχην ἀναστήσει Θεός, οὐκ ἄλλοθεν ἀρξόμενον τὴν ἀρχὴν ἑαυτοῦ καθιστᾶν ἢ ἐκ τοῦ ὑμᾶς ἀνακαθαίρειν, τοὺς κατὰ Σεμεεὶ τῇ γλώσσῃ φονεύοντας· οὐ γὰρ δή γε μεταβαλὼν ἐκφεύξῃ τὸν κίνδυνον· εἴθε δὴ μεταβέβλησαι· νῦν δὲ δῆλος εἶ οὐ μεταβληθησόμενος, εἰ μή τις μεταβολὴν ἐπὶ σοὶ τὴν τῆς μανίας ὑπερβολὴν ὀνομάσοι καὶ τὸ ἐξ ἐλάττονος κακίας προχωρεῖν ἐπὶ μείζονα. Προὔφερες ἔτι καθ' ἡμῶν κἀκεῖνα, ὅτι δὴ δάκνομεν ἀρχιερεῖς ὄντες ἀλλήλους καὶ καθαιρέσει ἅτερος θάττερον καὶ ἀφορισμοῖς ὑποβάλλομεν· καὶ προὔφερες μηδὲν ὅλως ψεύδους πέρι ἢ ἀληθείας φροντίσας· μόνον δὲ ἵν'—ὅ σοι φίλον ποιεῖν ἀεί, καὶ παρὰ πάντα τἆλλα σπουδάζεται—λυπήσῃς διὰ τοῦ λόγου καὶ τρώσῃς· καὶ ὅτι μὴ συκοφάντης εἶ ταῦτα λέγων καὶ πόρρω φθέγγῃ τῆς ἀληθείας, πάντες τε σχεδὸν ἴσασι, καὶ σύ γε πρὸ τῶν ἄλλων γινώσκεις· τὸ δὲ τῆς ψυχῆς πάθος ἐνδυναστεῦον προσίσταται, καὶ ἄλλῃ ποι φέρεσθαι βιάζει τὴν γλῶτταν ἀλογοῦν τῆς ὀρθῆς διαγνώσεως. Πλήν μοι δοκεῖς, ἄνθρωπε, σφηκείαν ἔχειν ἄντικρυς τὴν κοιλίαν, οὐδὲν ἄλλο προβάλλεσθαι ἔχουσαν ὅτι μὴ λόγους κεντρώδεις καὶ βλαπτικούς· οὐ γὰρ πεφύκασι σφῆκες μελιττουργεῖν, οὐδ' ἀναλήψεταί τις παρ' αὐτῶν οὐδέ τι τρυγᾶν ἕξει μετέχον γλυκύτητος· τοὐναντίον μὲν οὖν ἄν τις φιλεργὸς ᾖ μέλισσα καὶ μέλι γλυκάζον ἐργάζηται, αὐτὰς ἐπιτίθεσθαι καὶ κατεσθιούσας ἀναλίσκειν εἰς τέλος· ὡς ἂν δὲ μὴ δόξῃς ἀνεξελέγκτως ἀποσοβεῖσθαι, νομισθῶμεν δὲ ἑτέρωθεν καὶ ἡμεῖς μόναις τὰς συκοφαντίας ἀποκρούεσθαι λοιδορίαις, τίνα σοι τῶν ἀρχιερέων λέγεις ὑπ' ἀρχιερέως ἑτέρου καθαίρεσιν ὑποστῆναι καὶ ἀφορισθῆναι; τίνα δάκνειν τὸν ἕτερον, καὶ τίς ποτ' ἐστιν ὁ δα-

κνόμενος; ἢ τὸν ποτὲ Ἡρακλείας Γεράσιμον, νῦν δὲ μόλις καὶ μόνον Γεράσιμον πάσχειν τε φάσκειν ταῦτα καὶ δρᾶν, ὃς καὶ διὰ τὸ σχισματικὸς δυστυχῆσαι γενέσθαι, καὶ εἰς τὴν τῶν αἱρετιζόντων ἑκὼν ἀπερρίφθαι μοῖραν κανονικῶς καὶ δικαίως ὡς οὐκ οἶδ' εἴτις ἕτερος τῆς ἱερωσύνης ἐκπέπτωκεν; Εἰ σύ γ' ἐπίσκοπον ἐκεῖνον ἔτι καλεῖς, καὶ τοὺς ὕθλους ἐκείνου ἀφορισμοὺς ὀνομάζεις, πεῖθε ἡμᾶς τὴν δι' ἔργου πίστιν τῷ λόγῳ παρεσχηκώς· ἀπότρεχε πρὸς τὸν ἄνθρωπον, δέχου τὰς εὐλογίας αὐτοῦ, δέχου δὴ καὶ τὰς ἐφ' ἱερωσύνῃ χειροθεσίας· οὐκ ἄν γε τύχῃς καὶ πολλά γε καμὼν εὖ ἴσθι, εἰ μὴ πρότερον τὴν εἰς τὸν ἀοίδιμον ἐν πατριάρχαις Ἰωσὴφ στοργὴν αὐτοῦ κελεύοντος ἐξομόσαιο τήν τε τοῦ ὀνόματος ὡς πατριάρχου ἀναφοράν τε καὶ μνήμην πόρρω βάλῃς τῆς μνήμης· πλὴν ἀρχιερεὺς οὐδεὶς τῶν ἁπάντων, οἳ νῦν εἰσι λέγω, τὸν συνεπίσκοπον δάκνει. Οὔκουν οὐδὲ δάκνεται ὑπ' αὐτοῦ, πολλοῦ γε δεῖ ἀφορίζειν ἢ ἀφορίζεσθαι· ἀφορίζουσι μὲν τὸν καὶ ἀφώρισαν ἤδη πολλοί γε πολλούς, οὐ γὰρ ἀρνήσομαι, ἀλλὰ λαϊκούς τε καὶ ἰδιώτας οὐκ ἰδίου πάθους ἕνεκεν, οὐδὲ τοῦ τὸν σφέτερον θυμὸν θεραπεύειν, παιδείας δὲ μᾶλλον καὶ νουθεσίας καὶ τῆς εἰς τὸ δέον ἐπιστροφῆς. Τούτων εἷς ὢν καὶ αὐτὸς τυγχάνεις· ἐπειδή σε ἀφορισμῷ καὶ μάλα ἐνδίκῳ ὁ τῆς κατὰ Πόντον Ἡρακλείας ἐδέσμησε πρόεδρος, οὐ τοσοῦτον ἐφρόντισας τῆς κανονικωτάτης ἐκείνης ἐπιτιμήσεως καὶ ἔτι νῦν φροντίζεις. Καὶ γὰρ ἔτι νῦν ἐνέχῃ ὅσον εἰ λίθος ἦσθα ἢ πίστις ἢ δρῦς ἤ τι ἕτερον τῶν ἀψύχων τε καὶ ἀναισθήτων· καὶ θαῦμά γε πῶς ἡμῖν ὁ μέγας ἀσκητὴς σὺ καὶ καθηγητὴς καὶ διορθωτὴς τῶν πνευματικῶν οὐ μνήμην τούτων λαμβάνεις, ἢ πῶς ἐνθυμούμενος οὐκ εὐχὴν αὐτίκα ποιῇ χαυνεῖν σοι τὴν γῆν, ἀλλ' ἐθέλεις τοιαῦτα τοῖς λόγοις κινεῖν, οἷά περ ἀκίνητα μένοντα σοὶ μάλιστα τῶν ἄλλων συνέφερε. Βούλει καὶ ἀφορισμοῦ ἑτέρου μνησθήσομαι, ἢ φείσομαί σου μὴ καὶ ἀκούσας διαρραγῇς; ἀλλ' ἐγὼ μὲν μνημονεύσας, ἐπειδή περ οὐκ οἴκοθεν, ἀλλὰ σύ γε τὴν μνήμην ἡμῶν ἐρεθίζεις καὶ πρὸς τὸν λόγον ὠθεῖς, οὐκ ἂν πάντως νομισθείην ἐξαμαρτάνων παρὰ δικαίοις κριταῖς· εἰ δ' ἄρα τι καὶ πρόσεστι τῷ

λόγῳ ἁμάρτημα, ἐπὶ τὸν ἡμᾶς διεγείραντα τρέποιτο, καὶ ὁ πρῶτος εἰς τὸν λόγον κινήσας τῆς εὐθύνης κληρονομείτω, μὴ ἡσυχάζειν ἀγαπῶν, καὶ ταῦτα παρὰ μηδενὸς ἐνοχλούμενος, μηδ' ἠρεμεῖν τοῖς ἄλλοις διδούς, ἀλλ' ἐκβιάζων ἐκφέρειν εἴ τι καὶ κρύπτειν ἔχουσιν ἐν τῇ ψυχῇ καὶ σιγῆς ἄξιον κρίνουσιν οἱ περὶ Ὑάκινθον, ὦ γενναῖε κατήγορε, ἥ τε τῶν Μονεμβασιωτῶν μοῖρα καὶ ὁ πολὺς ἀριθμὸς τῶν νῦν ἀντικειμένων τῇ Ἐκκλησίᾳ τίνα θρυλλοῦσιν ἄνω καὶ κάτω ἀφωρίσθαι καὶ ἀφωρισμένον τεθνᾶναι καὶ παρὰ τίνος τοῦτο παθεῖν; ἆρ' ἔσχες αἴσθησιν ἤδη ὡς ὑπὸ τῆς ἄγαν φιλονεικίας ἔλαθες σαυτὸν πρὸς τὰ ξίφη τῶν ἐναντίων ὠθήσας καὶ δοκῶν τιτρώσκειν τοὺς ἄλλους εἰς αὐτὴν τὴν καρδίαν ὑπέλαβες τὴν πληγήν; Ἐγὼ μὲν οὖν εἰ καὶ συγκρίσει τῆς καλλιεπείας ἀγροικικῶς ἐξαγγέλλω καὶ ταπεινῶς, ἀλλ' οὖν καὶ περαιτέρω τὸν τῆς ἀποκρίσεως λόγον προάγειν βουλόμενος νοημάτων οὐκ ἂν ἠπόρησα πολλῶν τε καὶ ἀληθῶν, δι' ὧν σὲ μὲν ἐλέγχειν εἶχον καὶ μάλα σφοδρῶς, τὴν δὲ σὴν σοφίαν καταχωννύναι· νυνὶ δέ με πολὺς πραγμάτων περιϊστάμενος ὄχλος ἁπάσας μου πρὸς ἑαυτὸν τὰς φροντίδας μεθέλκει· εὐτύχημα τοῦτο σόν. Ἤδη μὲν οὖν ἐγὼ πλειστάκις καὶ ἄλλοτε ἐξ ὅτου περ εἰς ὃ νῦν εἰμι παρελήλυθα εὐξάμην ἰδιώτης ὡς τὸ πρότερον εἶναι καὶ πραγμάτων ἐκτός· νυνὶ δὲ μάλιστα ταύτην εὔχομαι τὴν εὐχήν, ὅτε καὶ τῆς σῆς περὶ λόγους δυνάμεως ἐπίδειξιν ἐκ τῶν ἡμετέρων ψόγων καὶ προπηλακισμῶν ποιεῖσθαι προήρησαι· καὶ ἠβουλόμην ἀρτίως γοῦν τυχεῖν αὐτῆς· ἢ γὰρ ἂν τολμήσας τοιοῦτόν τι δρᾶν, ὁποῖον νῦν τολμᾷς ἀδεῶς, τὸ τῆς χύτρας ἐφάνης πεπονθὼς πρὸς τὸν λέβητα, αὐτὸς προσκρούων, αὐτὸς δήπου καὶ συντριβόμενος· ἢ γὰρ ἂν καὶ σαυτὸν ἐταλάνισας ὅτι τῶν κεραυνῶν ἠρεμούντων παραβόλως αὐτοὺς κατὰ τῆς σῆς κεκίνηκας κεφαλῆς· ἀλλ' ὅπερ ἔφην, δύο δή σε ταῦτα τήμερον σώζει καὶ ὥσπερ ἀναιμωτὶ τοῦ ἀγῶνος ἐξάγει· τό τε σχῆμα τῆς ἀρχῆς ἣν περικείμεθα, λόγοις ἢ ἔργοις ἀμύνεσθαι διὰ τέλους οὐ συγχωροῦν, καὶ ἡ περὶ τἀναγκαιότατα τῆς Ἐκκλησίας σπουδή, ἧς ὀλιγωρεῖν καὶ τῶν τῆς σῆς γλώττης διαμένων ψόφων φρον-

τίζειν οὔτ' ἐμοὶ προσῆκον ὁρῶ, καὶ σοί γε προσθήκη τοῦτο γένοιτ' ἂν ὑπερηφανίας, εἰ πρὸς τὰς σὰς ἀηδίας, ὥς τινας οὔσας ἀξίας λόγου, αὐτὸς τῶν σπουδαιοτάτων ἀφέμενος ἐπιστρέφομαι.

ροβ') *Τῷ μεγάλῳ Λογοθέτῃ*

Γεώργιόν τινα Ξιφιλίνον, ἄνδρα θεῖον καὶ ὑπὲρ τοὺς κατ' αὐτὸν ὄντα τὴν ἀρετήν, ὅτι γέγονε πατριάρχης ἀκήκοας οἶμαι· γέγονε δὲ ἐπὶ τῶν ἔμπροσθεν ἡμερῶν τῶν χρυσῶν κεκλημένων, ἡνίκα δηλαδὴ τἄλλα Ῥωμαίων εὐεκτικῶς εἶχε, καὶ αὐτὰ δὴ τὰ τῶν πατριαρχῶν πράγματα. Ὁ τοίνυν θεῖος οὗτος ἀνὴρ πρὸς τοῖς ἄλλοις οἷς ἐχρῆν αὐτῷ ἐπὶ τοιούτων ἀναδειχθέντι τῶν χρόνων ἐξενεγκεῖν δείγμασιν ἀρετῆς, καὶ μοναστηρίου δομήτωρ ἀγαπᾷ γενέσθαι καὶ γίνεται· τούτου δὴ μοναστηρίου, ὅπερ ἐν δεξιᾷ εἰσπλέοντι ἐκ τῆς Προποντίδος τὸν Εὔξεινον πρὸς αὐτῷ που τῷ ἱερῷ καλουμένῳ στόματι καταφανές ἐστιν ἐπί τινος λόφου ἱστάμενον· τῷ τοιούτῳ ὅτι καὶ πατριάρχου δομήτορος ἔλαχε τὴν ἀρχήν, ὅτι καὶ τῷ μεγάλῳ τῶν ὀρθοδόξων βασιλέων συμμάχῳ καὶ διαφερόντως τοὐμοῦ βασιλέως, ὡς ἐλπίζω καὶ εὔχομαι, τῷ τροπαιοφόρῳ ἀνεῖται κηδεμονίας πλέον τι νέμειν ἢ τοῖς ἄλλοις δοκῶ· οὐκ ἐφ' ᾧ προστιθέναι τοῖς αὐτοῦ, οὐ γὰρ ἔστιν ἡμῖν ὅθεν προσθήσομεν, ἀλλ' ἐφ' ᾧ φυλάττειν αὐτά. Ταύτῃ δήπου τῇ σπουδῇ καὶ προθέσει καὶ τὰ παρὰ τῆς βασιλικῆς εὐδοκίας ἀκολουθεῖ, ὥστε καὶ διήγομεν ἂν τούτου γ' ἕνεκεν ἀπραγμόνως ἔχοντες τοῦ λοιποῦ, εἰ μὴ ἀνθίστατο ἑτέρωθεν τὰ παρὰ τοῦ σεβαστοῦ καὶ κριτοῦ· νυνὶ δὲ πράγματα ἔχομεν δι' αὐτόν· καὶ γὰρ ὅσον ἐμοὶ τῆς τοῦ μοναστηρίου συστάσεως μέλει, ὅσον τε τῷ θείῳ βασιλεῖ ὑπεξίστασθαι εὐλαβῶς καὶ χαρίζεσθαι τῷ ἐν αὐτῷ τιμωμένῳ μεγαλομάρτυρι, τοσοῦτον οὗτος καταμερίζει καὶ διαλύει, καὶ εἰς τοὐλάχιστον ἢ καὶ οὐδὲν φιλονεικεῖ καθιστᾶν· ἑνί γε πάντως τῶν τριῶν δυσμεναίων καὶ πλαγίως αὐτὸν ἀμυνόμενος, ἢ βασιλεῖ τῷ τὴν σύστασιν εὐδοκοῦντι, ἢ ἔμοιγε τῷ φροντίζοντι, ἢ τῷ ἀθλητῇ, τῷ τὸ μοναστήριον ἀνάθημα ἔχοντι.

Πίστεις τῆς τοιαύτης τοῦ ἀνδρὸς προαιρέσεως πάμπρωτα μὲν μοῖραν μεγάλην γῆς τῆς δοκούσης ἀρίστης ἀποτεμόμενος, τῷ Ὀστρειδίῳ λεγομένῳ μοναστηρίῳ δίδωσι φέρων· ἔπειτα μέρος ἕτερον ἀποσπάσας, καὶ τρίτον ἕτερον μετὰ ταῦτα τῷ Ὀστρειδίῳ καὶ πάλιν αὐτὰ δίδωσι φέρων· τάχα δ' ἂν καιρὸν εἰληφὼς οὐδ' αὐτὸ τοῦ νεὼ τοὔδαφος ἀπέσχετο μὴ ὅπου καὶ τὰ πρῶτα διδόναι φέρων. Οὐκ ἠρκέσθη τοῖς εἰρημένοις ὁ δίκαιος κριτής, ἀλλὰ καὶ μυρίοις ἄλλοις τρόποις λωβᾶσθαι ἐπέθετο· καὶ λωβᾶται νῦν μὲν οὕτως, νῦν δ' οὕτως· ἐγὼ δ' ἀκούων καταστενάζω πολλὰ τῆς τοῦ λωβητῆρος ψυχῆς· ὁ δὲ πυνθανόμενος, πῶς ἂν εἴποις ἡδέως γελᾷ καὶ πλεονάζων ἐστὶν ἐν ἐκείνοις, ἅπερ ἐμοὶ ἐπαύξει τοὺς στεναγμούς· ἐμφορείσθω τῶν γελώτων αὐτῶν, ἀλλὰ περὶ τῶν ἀδικιῶν τούτων καὶ τῶν ἀφαιρέσεων καὶ πρώην μὲν οἶδα πολλὰ δεηθείς, καὶ νῦν δὲ αὖθις τοῦ θειοτάτου δέομαι βασιλέως, ὁμοῦ δὲ καὶ τὴν σὴν περὶ τὰ καλά τε καὶ δίκαια σπουδὴν ἐπικέκλημαι γενέσθαι θεραπείαν τινά, καὶ μὴ συγχωρῆσαι φιλαπεχθήμονος ἀνθρώπου ἄδικον ἐπιθυμίαν εἰς πέρας ἐλθεῖν· μάλιστα μὲν οὖν ἀνακόψαι μὲν ταύτην, αὐτὸν δὲ τὸν τῶν κακῶν ἐπιθυμητήν, καὶ εἴ τις ἕτερος κατ' αὐτὸν διοικεῖν τι τῶν δημοσίων πεπίστευτο σωφρονίσαι καὶ πεῖσαι μηκέτι τοιαῦτα τολμᾶν, καὶ μάλιστα ὅπου μὴ τολμᾶν ὁ διὰ Θεοῦ δεσπότης τῶν ὅλων καὶ βασιλεὺς σφοδρός ἐστιν ἐντελλόμενος καὶ προστάσσων.

ρογ') Τῷ αὐτῷ

Ἀλλ' ἔμοι γε τοσοῦτον φέρει τὴν αἰσχύνην τὸ καὶ μόνον κόλαξ εἶναι δόξαι παρὰ σοί, ὅσον λέγειν οὐκ ἂν δυναίμην, καὶ σφόδρα λέγειν βουλόμενος, ὥστε μοι κἂν τοῖς ἀεὶ πρὸς σὲ γράμμασιν εὐπροοιμίων εὐθὺς ἐκείνοις σε βουλομένῳ καλεῖν τοῖς ὀνόμασιν, οἷς δὴ καὶ τὸν πολὺν ἐν ἁγίοις Βασίλειον ὁ ἑταῖρος αὐτοῦ καὶ ὁμόψυχος· τῇ γὰρ Ἐκκλησίᾳ παρὰ Θεοῦ τοιοῦτος καὶ αὐτὸς δεδώρησαι σήμερον, ὁποῖος δὴ κἀκεῖνος αὐτῇ ἐπὶ τῶν χρόνων τῶν ἑαυτοῦ· ὅμως τὸ δειλιᾶν μὴ νομισθείην κολακεύων παρίσταται· διὰ τοῦτο τὸ μὲν εὐσεβείας σε πρόμαχον καὶ πί-

στεως ἔρεισμα καὶ στύλον καὶ ἑδραίωμα τῆς Ἐκκλησίας ὀνομάζειν ἐκ τῆς εἰρημένης αἰτίας ἀφίημι, καὶ ταῦτα τῶν πραγμάτων παρεχομένων τὰς τῶν κλήσεων ἀφορμάς, νομίζω δέ σε τοιοῦτον, καὶ εἴ γε ταῖς ἀληθείαις, κἂν ἄλλο τι νῦν ὁ λόγος ὑφορώμενος ἐκφέρειν συστέλληται. Ἀλλ', ὦ μέγα θρέμμα τῆς Ἐκκλησίας σύ, οὐχ ὁρᾷς ἢ ἀκούεις ὡς τοῦ τῆς εὐσεβείας κινδυνεύομεν ὀνόματος ἐκπεσεῖν διὰ τοὺς τῶν οἰνοπλήκτων ἀνθρώπων ὀνείρους καὶ λήρους; Ἀπηχθανόμεθα μὲν οὖν καὶ πρώην τοῖς πονηροῖς καὶ ἐλυμαίνοντό γε ἡμῶν ὅσα ἦν αὐτοῖς δυνατά, ἀλλ' ἦν αὐτοῖς καθ' ἑαυτῶν ταῦτα, τῷ μήτε τινὰ καθ' ἡμῶν αἰτίαν τῆς δυσμενείας ἔχειν καὶ βασκανίᾳ δοκεῖν οὐ ζήλῳ ἀληθείας κεκινῆσθαι πρὸς τὴν ἀπέχθειαν, νυνὶ δὲ οὐχ οὕτως· ἀλλ' ἀφοῦ σάτυροί τινες καὶ τοῦ οἰνηροῦ δαίμονος θιασῶται εἰς τοὺς λογίους ἑαυτοὺς ἐνέκριναν καὶ εἰώθησαν καὶ τῶν ὑψηλῶν τε καὶ οὐρανίων καὶ λόγων καὶ γνώσεων, ὡς οὐδέεσιν ἑτέροις ἑαυτοῖς μετεῖναι ἐνόμισαν, βαβαὶ ὅσον καθ' ἡμῶν πλατύνεται τὸ τῆς βλασφημίας ὄνομά τε καὶ ἔγκλημα! Καὶ μέν τοι καὶ τὸ πρὸς ἡμᾶς τῶν πολεμίων μῖσος οὐκέτι κωφὸν ὡς τὸ πρότερον καὶ εἰκαῖον, μετὰ δέ τινος εὐλόγου λόγου καὶ ἱκανῆς τῆς προφάσεως, οἵ καὶ τὴν συκοφαντίαν ὥσπερ τι τρόπαιον ἄνω τῆς κεφαλῆς ἄραντες περιιᾶ ἁπανταχοῦ ὁ δεῖνα λέγοντες καὶ ὁ δεῖνα, ἐν τοῖς συγγράμμασι τῶν σήμερον τῆς Ἐκκλησίας προστατῶν βλασφημίαν ἐφώρασαν, καὶ βλασφημοῦσί γε ἀληθῶς· οἱ γὰρ φωράσαντες ἀξιόπιστοι, ἐπειδή περ καὶ λόγιοι· ὅθεν καὶ σεσίγηται μὲν τὰ παλαιὰ καθ' ἡμῶν ἐγκλήματα, τὰ διονυσιακὰ δὲ ταυτὶ καὶ πρόσφατα παρρησιάζεται καὶ κηρύττεται, καὶ τὸ τοῦ Σοφοκλέους ὁ κλύων τοῦ λέγοντος χαίρει μᾶλλον. Τί οὖν; σιγᾶν ἔτι καλὸν κατάκλειστον ἔχοντας τὸν ἄκρατον συκοφάντην καὶ ὄντως βλάσφημον; ἀλλ' ἡ τῆς πονηρίας φήμη προβαίνει τῷ χρόνῳ καὶ μείζων γίνεται· καὶ ὁ πρὸς τοῦ τείχους Ἰωάννης, τὸ τοῦ γένους ὄνειδος, τοῦ τε οἰκείου καὶ τοῦ κοινοῦ Ῥωμαίων, ταύτην καὶ παρὰ ταύτην οὐκ ἄλλην τῶν ἐγκυκλίων τῶν ἐπιστολῶν αὐτοῦ ποιεῖται ὑπόθεσιν καὶ ἄνω δήπου καὶ κάτω οὐχ

ὑγιεῖς περὶ τὸ σέβας καλούμεθα ὥστε οὐ μενετέον ἔτι φησὶν ὁ εἰπών· οὐδὲ τοῖς ἐχθροῖς καθ' ἡμῶν ἐκ τοῦ χρόνου παρακερδαίνειν δοτέον, ἀλλ' ἐπειδὴ κἀγὼ μετρίως ἀνείληφα ἐμαυτὸν ἐκ τῆς νόσου καλοίμην, καὶ ἕτοιμός εἰμι κληθεὶς ἀπαντᾶν· καλείσθωσαν δὲ καὶ οἱ μεγάλοι τὴν ἀρετήν, Γεννάδιός τε καὶ Ἀθανάσιος καὶ ὁ πατριάρχης δὲ Ἀλεξανδρείας κεκλήσθω, καὶ εἴ τις ἄλλος τῇ προκλήσει προώρισται· καὶ καλείσθων ἀπ' ἄρτι, καὶ μάλιστά γε ὁ πατριάρχης ἀποδημῶν πόρρω τοῦ ἄστεος, ἵνα κατὰ καιρὸν καὶ μὴ ὕστερος ἀπαντῴη, ὡς ἄν, εἰ δοκεῖ τῷ εὐσεβεῖ καὶ παντὸς καλοῦ ζηλωτῇ τε καὶ σπουδαστῇ βασιλεῖ, τὴν μετὰ τὴν αὔριον ἅμα πρωῒ πάντες ἀθρόοι πρὸς αὐτὸν ἀπαντήσωσι· καὶ μέν τοι καὶ ἡμῖν ἑτέρωθεν δόξαν τι τελεσθῆναι προκαταγγέλλειν καλόν, ἵν' ἅμα καὶ τὸν κλῆρον ἢ τοὺς μάλιστά γε δοκοῦντας ἄγοντες ἀφικώμεθα· ἀγαπῶσι γὰρ πάντες ἀκροαταὶ γενέσθαι, ἐπεὶ καὶ πάντες δυσχεραίνουσιν εἰ μὴ θᾶττον τοῦ τοιούτου ἡ Ἐκκλησία ὀνείδους ἀπαλλαγείη, τοῦ ἐγείραντος αὐτὸ ἐν αὐτῇ ἀπελεχθέντος ὅτι ληροίη καὶ τῆς ἰδίας ἀπονοίας καὶ ἀφροσύνης ἀξίως στηλιτευθέντος, πρός τε νουθεσίαν τῶν ὅσοι κατ' αὐτόν εἰσι κοῦφοι διαφανῶς καὶ τὸν νοῦν ἐν οὐδενὶ ἐπερείδοντες, καὶ τῶν ἄλλων διὰ ταῦτα θορυβουμένων, καὶ γάρ φασιν ἐκ τοῦ κατ' αὐτὸν καὶ ἐς δεῦρο σεσιγῆσθαι οὔ τι μικρὸν ἐγείρεσθαι θροῦν, μὴ μόνον παρὰ τοῖς ἀντιθέτοις, ἀλλὰ καὶ τοῖς κοινωνικωτάτοις αὐτοῖς καὶ εἰρηνικωτάτοις.*

* Ἀκολουθεῖ.